κερδαίνοντας δεξιῶς πράττειν, οὕτω γ' οὖν εἰσί τινες λέγοντες, ὅτι ὁ δεῖνα εὐτυχεῖ ἀδικῶν, καὶ οὕτως ἀδικῶν κακῶς οὐδέποτε ἔπταισεν οὐδὲ προσέκοψεν· μὴ οὖν ταῦτα λέγετε, ἀλλ' εἰ ἄρα μισεῖτε αὐτοὺς εὔχεσθε, ἵνα μείναιεν κερδαίνοντες καὶ μὴ δοῖεν δίκην· οὐ γὰρ ἰατρεύονται· οὕτω γ' οὖν φησιν ὁ φιλόσοφος Ἀμμώνιος, ὅτι τῷ διδασκάλῳ Πρόκλῳ ἔλεγέ τις λυπούμενος, ὅτι ὁ δεῖνα σκαιὸς ὢν καλῶς πράττει κἀγὼ δυστυχῶ, καὶ ἀπεκρίθη αὐτῷ ὁ φιλόσοφος Πρόκλος, ὅτι εἰ ἐχθρός σοι ἔστι, πανηγύριζε ἕως οὗ βλέπεις αὐτὸν μὴ διδόντα δίκην. ὥστε ἡ ῥητορικὴ παντὸς ἐστέρηται ἀγαθοῦ· εἴ γε μήτε ὑπὲρ τῶν δικαίων λέγει τι ὁ ῥήτωρ μήτε ἁμαρτάνοντα ἑαυτὸν δίδωσι πρὸς δίκην· μάταιος δέ ἐστιν ὁ ῥήτωρ μηδὲν ὀρθὸν ἐργαζόμενος. ἄξιον δὲ ζητῆσαι, πῶς λέγει ἐνταῦθα, ὅτι δεῖ τῶν γονέων καὶ τῶν ἀδελφῶν ἁμαρτανόντων κατηγορεῖν, ἵνα δοῖεν δίκας, καὶ μὴν ἐν τοῖς Νόμοις κελεύει τοὺς παῖδας ὑποτάττεσθαι καὶ ἀδικουμένους· λέγει γάρ, ὅτι ἡ φύσις οὐκ οἶδεν ἀγαθὸν ἢ κακὸν πατέρα ἀλλὰ ἁπλῶς πατέρα, ὥστε δεῖ τιμᾶν τὸν πατέρα κἂν ἀδικῇ, καὶ πάλιν φησίν, ὅτι εἰ ἀδικεῖ σε ὁ ἀδελφός σου μὴ ἐνθυμοῦ, ὅτι ἀδικεῖ σε, ἀλλ' ὅτι ἀδελφός ἐστι· φαμέν· ὅτι ἐνταῦθα κατηγορίαν λέγει τὴν πρὸς τὸν
3 λόγον. ὥσπερ γὰρ ἑαυτῶν κατηγοροῦμεν τῷ λόγῳ λέγοντες· πῇ παρέβην; τί δὲ ἔρεξα; καὶ τὰ τοιαῦτα, οὕτως καὶ πατρὸς καὶ ἀδελφοῦ κατηγόρησον· οὐκ ἐν δικασταῖς ἀλλὰ τῷ λόγῳ λέγων τῷ πατρὶ μετὰ ἐπιεικείας· ὦ πάτερ, μὴ πράξωμεν τόδε, ἄδικον γάρ ἐστι καὶ μὴ λυπηρόν τι ἀπαντήσῃ ἡμῖν· πείθειν οὖν θέλε, εἰ δὲ μὴ δυνηθῇς, παραχώρει· δεῖ τοίνυν εἰδέναι, ὅτι τῶν ἀνθρώπων οἱ μὲν ἁμαρτάνουσιν, οἱ δὲ οὐχ ἁμαρτάνουσιν, καὶ τῶν ἁμαρτανόντων οἱ μὲν ἐφιστάνουσιν, οἱ δὲ οὐκ ἐφιστάνουσιν, καὶ τῶν ἐφιστανόντων οἱ μὲν εἰς ἑαυτοὺς

---

5 cf. Aristot. eth. Nicom. II 7, 1108 b 3. top. II 2, 110 a 1
15 Plat. legg. VI 772 e 18 Plat. IX legg. 868 e

---

5 mg. ση. τὴν πρὸς τὸν νεμεσητικὸν ἄνδρα τοῦ φιλοσόφου Πρόκλου ἀπολογίαν 13 mg. ἀπορία 20 mg. λύσις 21 ση. ὅπως χρὴ προσάγεσθαι πατράσιν ἢ ἀδελφοῖς ἁμαρτάνειν ἐπειγομένοις διὰ τῶν λόγων

---

4 μειναίεν corr. Jahn μεινοίεν M 19 σε supr. lin. add. M